# 7 Ἀπριλίου 2024

## Δευτέρα δ΄ Ἑβδομάδος τῶν Νηστειῶν

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

### Προοιμιακὸς

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

ψαλμὸς ργ΄ 103

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.
Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.
Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.
Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία, εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.
Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.
Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνά μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.
Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.
Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.
Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
Ἔθου σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.
Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.
Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν.
Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια. Δόξα σοι ὁ Θεός. (γ΄)
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

## τὰ εἰρηνικά

### Ἦχος Νη

Δημητρίου Σουρλαντζή
Θ. Λειτουργία 1992 σ.1*




NH
Κυ ρι ε ε λε ε ε η σον
NH ΔΙ
Κυ ρι ε ε λε ε ε η σον
NH
Κυ ρι ε ε λε ε ε η σον
NH
Κυ ρι ε ε λε ε ε η σον
NH
Κυ ρι ε ε λε ε ε ε η σον
NH
Κυ ρι ε ε λε ε ε η σον
NH
Κυ ρι ε ε ε λε ε η σον
NH
Κυ ρι ε ε ε λε η σον
NH
Κυ ρι ε ε λε η σον
NH ΠΑ
Κυ ρι ε ε λε ε η σον

ἕτερα







Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




# Ἐπιλύχνιοι Ψαλμοί

## Κεκραγάρια

ἦχος γʹ

Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· εἰσάκουσόν μου Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ, εἰσάκουσόν μου Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή, εἰσάκουσόν μου Κύριε.

| | | |
|---|---|---|
| Ἰωάννου Πρωτοψάλτου | | Κωνσταντίνου Παπαγιάννη |

## Στιχολογία

## ψαλμὸς ρμ´ 140

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.
Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.
Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.
Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.
Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.
Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.
Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.
Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.
Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

## ψαλμὸς ρμα´ 141

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.
Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.
Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.
Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.
Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.
Ἀπώλετο φυγὴ ἀπ᾽ ἐμοῦ καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.
Ἐκέκραξα πρὸς σέ, Κύριε εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.
Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.
Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Πέτρου Βυζαντίου | Ἰωάννου Πρωτοψάλτου | Κωνσταντίνου Παπαγιάννη

# Κατανυκτικά

## ἦχος γ´

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἑσπερινὸν ὕμνον, προσφέρομέν σοι Χριστέ, μετὰ θυμιάματος, καὶ ᾠδῶν πνευματικῶν, ἐλέησον Σωτὴρ τὰς ψυχὰς ἡμῶν.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Σῶσόν με Κύριε ὁ Θεός μου· σὺ γὰρ πάντων ἡ σωτηρία, ὁ κλύδων με τῶν παθῶν ἐκταράττει, καὶ τὸ βάρος τῶν ἀνομιῶν με βυθίζει· δός μοι χεῖρα βοηθείας, καὶ πρός φῶς ἀνάγαγέ με κατανύξεως, ὡς μόνος εὔσπλαγχνος, καὶ φιλάνθρωπος.

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου.

Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε Κύριε, καὶ τὴν χερσωθεῖσάν μου καρδίαν καθάρισον, ὡς τῷ Πέτρῳ διδούς μοι μετάνοιαν, ὡς τῷ Τελώνῃ στεναγμόν, καὶ ὡς τῇ Πόρνῃ δάκρυα, ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι· ὁ Θεὸς σῶσόν με, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Πολλάκις τὴν ὑμνῳδίαν ἐκτελῶν, εὑρέθην τὴν ἁμαρτίαν ἐκπληρῶν, τῇ μὲν γλώττῃ ᾄσματα φθεγγόμενος, τῇ δὲ ψυχῇ ἄτοπα λογιζόμενος, ἀλλ᾽ ἑκάτερα διόρθωσον Χριστὲ ὁ Θεός, διὰ τῆς μετανοίας, καὶ ἐλέησόν με.

Ἰωάννου Πρωτοψάλτου | Θρασυβούλου Στανίτσα | Κωνσταντίνου Παπαγιάννη

## Προσόμοια Τριῳδίου

Κύριε, εἰ καὶ κριτηρίῳ — ἦχος πλ.δ′

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Κύριε, ὁ ἐπὶ Σταυροῦ ἑκουσίως, ὑφαπλώσας τὰς παλάμας σου, τοῦτον κατανύξει καρδίας, προσκυνεῖν ἡμᾶς ἀξίωσον, λελαμπρυσμένους καλῶς, νηστείαις καὶ δεήσεσι, καὶ ἐγκρατείᾳ, καὶ εὐποιΐᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε Κύριε,
ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Κύριε, τῶν ἁμαρτιῶν μου τὰ πλήθη, κατὰ τὸ πλῆθος ἐξάλειψον, τῶν σῶν οἰκτιρμῶν Πανοικτίρμον, καὶ τὸν Σταυρόν σου ἀξίωσον, ἐν καθαρᾷ τῇ ψυχῇ, καὶ βλέπειν καὶ προσπτύσσεσθαι, ἐν τῇ παρούσῃ τῆς ἐγκρατείας, ἑβδομάδι ὡς φιλάνθρωπος.

Μέγιστον θαῦμα — ἦχος γ′

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Μέγιστον θαῦμα! τὸ ξύλον ὁρᾶται, ἐν ᾧ Χριστὸς σαρκὶ ἐσταυρώθη, προσκυνεῖ ὁ κόσμος καὶ φωτιζόμενος ἀνακράζει· Ὢ τοῦ Σταυροῦ τῇ δυνάμει! καὶ θεωρούμενος δαίμονας καίει, καὶ ἐκτυπούμενος, τούτους φλέγων δείκνυται. Μακαρίζω σε τὸ ἄχραντον ξύλον, τιμῶ καὶ προσκυνῶ ἐν φόβῳ, καὶ Θεὸν δοξάζω, τὸν διὰ σοῦ μοι χαριζόμενον, ζωὴν τὴν ἀτελεύτητον.

Μανουὴλ Πρωτοψάλτου | Κωνσταντίνου Παπαγιάννη

# Προσόμοια Μηναίου (8 Ἀπριλίου)

Ὡς γενναῖον ἐν Μάρτυσιν ἦχος δ'

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ, λύτρωσις
καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ἀετοὶ ὡς ὑπόπτεροι, πᾶσαν γῆν διεδράμετε, τὰ σεπτὰ διδάγματα, κατασπείροντες, καὶ τὰ ζιζάνια τέμνοντες, τῆς πλάνης ἐν χάριτι, καὶ πολύχουν τὸν καρπόν, γεωργοῦντες πανεύφημοι, ὃν κατέχουσι, νοηταὶ ἀποθῆκαι, εἰς αἰῶνας, γεωργῷ τῷ ἀθανάτῳ, περιφανῶς συντηρούμενον.

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Ἡρωδίωνα, Ἄγαβον, καὶ Ἀσύγκριτον, Ῥοῦφόν τε, καὶ Ἑρμῆν καὶ Φλέγοντα, μακαρίσωμεν, τὰ τῆς ἀμπέλου τυγχάνοντα, κατάκαρπα κλήματα, ἀποστάζοντα ἡμῖν, γλυκασμόν τὸν σωτήριον, τὸν εὐφραίνοντα, τὰς διψώσας καρδίας τῶν ἐν πίστει, ἀληθεῖ τούτων τὴν μνήμην, ἐπιτελούντων τὴν εὔσημον.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Οὐρανοὶ χρηματίσαντες, ὑψηλοὶ τὴν διάνοιαν, δόξαν ἀναγγέλλετε, τοῦ Θεοῦ ἡμῶν, τοῦ σαρκωθέντος θελήματι, θεόπται ἀπόστολοι, ὁδηγοὶ τῶν εὐσεβῶν, Ἐκκλησίας θεμέλιοι, πύργοι ἄσειστοι, εὐσεβείας λιμένες, ἀπορρήτων, μυστηρίων ὑπηρέται, φωταγωγοὶ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὡς Θεοῦ Μήτηρ ἄφθορος, καὶ ἁγνὴ καὶ πανάμωμος, καὶ ἁγιωσύνῃ πάσῃ ἀσύγκριτος, τὸν ἐναγῆ καὶ ἀκάθαρτον, καὶ πάσης αἰσχρότητος, παρανόμου καὶ δεινῆς, εὑρετὴν ἐγχειρήσεως, μὴ ἀπώσῃ με, μὴ ἐάσῃς με ὅλως ἀπολέσθαι, ἀλλὰ ῥῦσαι τῶν παθῶν με, καὶ ἐπιστρέφοντα σῶσόν με.

## Εἴσοδος – Ἐπιλύχνιος Εὐχαριστία

Σοφία. Ὀρθοί!

ἦχος β'

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, διὸ ὁ κόσμος σὲ δοξάζει.

Μέλος Ἀρχαῖον Ἰωάννου Σακκελαρίδου

# Προκείμενον

ἦχος πλ.δʹ

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου, Κύριε.

∴ Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

∴ Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Πανδέκτη Θρασυβούλου Στανίτσα Κωνσταντίνου Παπαγιάννη

# Δεήσεις

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον.

Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν.

Κύριε ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτητόρων τῆς ἁγίας ἐκκλησίας ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Πληρωτικὰ

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Κύριε ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε ἐλέησον.
Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου Κύριε.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου Κύριε.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου Κύριε.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου Κύριε.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου Κύριε.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Παράσχου Κύριε.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοὶ Κύριε.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Εἰρήνη πᾶσι.
Καὶ τῷ Πνεύματί σου.
Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνομεν.
Σοὶ Κύριε.
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Εἰς τὸν Στίχον

### Ἰδιόμελον

ἦχος πλ.δʹ

Ἀτενίσαι τὸ ὄμμα εἰς οὐρανόν, οὐ τολμῶ ὁ τάλας ἐγώ, ἐκ τῶν πονηρῶν μου πράξεων, ἀλλ᾽ ὡς ὁ Τελώνης στενάξας κραυγάζω σοι· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ φαρισαϊκῆς ὑποκρίσεως ῥῦσαι με, ὡς μόνος εὔσπλαγχνος.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.
Ἰδού, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

| | | |
|---|---|---|
| Πέτρου Λαμπαδαρίου | Ἰακώβου Πρωτοψάλτου | Γεωργίου Βιολάκη |
| Πέτρου Φιλανθίδου | Θρασυβούλου Στανίτσα | Κωνσταντίνου Παπαγιάννη |

### Μαρτυρικὸν - Θεοτοκίον

ἦχος πλ.δʹ

Μαρτυρικὸν

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως,
ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Θεοτοκίον

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὰ οὐράνια ὑμνεῖ σε κεχαριτωμένη, Μῆτερ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θρασυβούλου Σταντίσα Κωνσταντίνου Παπαγιάννη

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

## Τρισάγιον

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. (γ΄)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον. (γ΄)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Ἀντὶ Ἀπολυτικίων

ἦχος πλ. α΄

Θεοτόκε Παρθένε, χαῖρε, κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Βαπτιστὰ τοῦ Χριστοῦ, πάντων ἡμῶν μνήσθητι, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν· σοὶ γὰρ ἐδόθη χάρις πρεσβεύειν ὑπὲρ ἡμῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἱκετεύσατε ὑπὲρ ἡμῶν, ἅγιοι ἀπόστολοι, καὶ ἅγιοι πάντες, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων· ὑμᾶς γὰρ θερμοὺς προστάτας, πρὸς τὸν Σωτῆρα κεκτήμεθα.

Θεοτοκίον

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν, Θεοτόκε· τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει, ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, μόνη ἁγνή, μόνη εὐλογημένη.

Θρασυβούλου Σταντίτσα    Κωνσταντίνου Παπαγιάννη

Κύριε, ἐλέησον. μ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Ἐπουράνιε βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ Ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν Ἐκκλησίαν (ἢ τὴν μονὴν) ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἀμήν.

Εὐχὴ ὁσίου Εὐφραὶμ

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς. Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ. Ναί, Κύριε βασιλεῦ, δώρησαί μοι τὸ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου, ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. (ιβ΄)

Ναί, Κύριε βασιλεῦ, δώρησαί μοι τὸ ὁρᾷν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου, ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Δόξα σοι, ὁ Θεός ἡμῶν, δόξα σοι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Κύριε ἐλέησον (γʹ), εὐλόγησον.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

## Ὕμνος Ἀπολύσεως

Ὅτε ἐκ τοῦ ξύλου — ἦχος βʹ

Πάντων προστατεύεις, Ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων, πολλῶν. Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου· ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι πάσης περιστάσεως τοὺς δούλους σου.

| | | |
|---|---|---|
| Πανδέκτη | | Θρασυβούλου Στανίτσα |
| ἀργὸν | ☜ Κωνσταντίνου Παπαγιάννη☞ | σύντομον |

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

ἐπιμέλεια

Γεράσιμος Μοναχὸς Ἁγιορείτης ∴ Λουκᾶς Λουκᾶ ∴ Δημήτριος Παπαδόπουλος

Θὰ τὸ ἐκτιμούσαμε ἂν μᾶς γνωρίζατε τυχόντα λάθη.

gerry.monk@gmail.com    louka.loukas@gmail.com

# Κεκραγάρια

## Ἰωάννου Πρωτοψάλτου

### Ἦχος Γα

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον
1905 σ.464*








## Κωνσταντίνου Παπαγιάννη

### Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.Α431/445*








# Στιχολογία

## Πέτρου Βυζαντίου

Ἦχος Γα

Πέτρου Εφεσίου
Αναστασιματάριον
Βουκουρέστι 1820 σ.61*




ι ι αν και ου μη συν δυ α α σω με τα των ε κλε
κτω ων α αυ των
Π αι δευ σει με δι ι και ος εν ε λε ει και ε λεγ
ξει με ε λαι ον δε α μαρ τω λου μη λι πα να τω την
κε φα λην μου
Ο τι ε τι και η προσ ευ χη μου εν ταις ευ δο
κι αις αυ των χα τε πο θη σαν ε χο με να πε
τρας οι κρι ται αυ τω ων
λ κου σον ται τα ρη μα τα μου ο τι η δυν θη
σαν ως ει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ


πι σθη τα ο στα αυ των πα ρα τον Α δην
Ο τι προς σε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ μοι οι
μου ε πι σοι ηλ πι σα μη αν τα νε λης την ψυ χην μου
Φ υ λα ξον με α πο πα γι ι δος ης συν ε στη σαν
το μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την
α νο μι αν
Π ε σουν ται εν αμ φι βλη στρω αυ των οι α μαρ
τω λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρελ
θω
Φ ω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη


μου προς Κυ ρι ον ε δε η θην
Ε χ χε ω εν ω πι ον αυ του την δε η σιν μου την
θλι ψιν μου εν ω πι ον αυ του α παγ γε λω
Ε ν τω εκ λει πει ειν εξ ε μου το πνευ μα μου
κα συ ε γνως τας τρι ι βου ους μου
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο μην ε κρυ ψαν
πα γι δα α μοι
Κ α τε νο ουν εις τα δε ξι α α και ε πε βλε
πον και ουχ η ην ο ε πι γι νω ω σκω ων με
λ πω λε το φυ γη η απ ε μου ου και ουχ ε στιν




Γεράσιμος Μοναχὸς Ἁγιορείτης — Κατανυκτικά — Λουκᾶς Λουκᾶ

## Ἰωάννου Πρωτοψάλτου

Ἦχος Γα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον
1905 σ.103#




θυ υ ραν πε ρι ο χης πε ρι τα χει λη μου
Μ η εκ κλι νης την καρ δι αν μου εις λο γους πο
νη ρι ι ι ας του προ φα σι ζε σθαι προ φα σεις
εν α μαρ τι αις
Σ υν αν θρω ποις ερ γα ζο με νοις την α νο μι
αν και ου μη συν δυ α α σω με τα των εκ
λε κτων αυ των
Π αι δευ σει με δι και ος εν ε λε ει και ε λεγ
ξει με ε λαι ον δε α μαρ τω λου μη λι πα να
τω την κε φα λην μου


Ο τι ε τι και η προ σευ χη μου εν ταις ευ δο
κι ι αις αυ των χα τε πο θη σαν ε χο με να πε
τρας οι κρι ται αυ των
λ κου σον ται τα ρη μα τα μου ο τι η δυν θη
σαν ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε
σκορ πι σθη τα ο στα αυ των πα ρα τον Α δην
Ο τι προς σε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ μοι
μου ε πι σοι ηλ πι σα μη αν τα νε λης την ψυ χην
μου
Φ υ λα ξον με α πο πα γι ι δος ης συν ε στη σαν


το μοι και α πο σκαν δα λων των ερ γα ζο με νων
την α νο μι αν
Π ε σουν ται αι εν αμ φι βλη στρω αυ των οι α μαρ
τω λοι κα τα μο νας ει μι ε γω ε ως αν παρ ελ
θω
Φ ω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη
μου προς Κυ ρι ον ε δε η θην
Ε κ χε ω ε νω πι ον αυ του την δε η σιν μου
την θλι ψιν μου ε νω πι ον αυ του απ αγ γε λω
Ε ν τω εκ λει πει ειν εξ ε μου το πνευ μα μου και


σου ε γνως τας τρι βους μου
Ε ν ο δω τα αυ τη η ε πο ρευ ο ο μην
ε κρυ ψαν πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α α και επ ε βλε
πον και ουκ ην ο ε πι γι νω σκων με
λ πω λε το φυ γη η απ ε μου και ουκ ε ε στιν
ο εκ ζη των την ψυ χην μου
Ε κε κρα ξα προς σε Κυ ρι ε ει ει ει πα
συ ει η ελ πι ι ις μου με ρις μου η εν γη
ζων των






## Κωνσταντίνου Παπαγιάννη

### Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.Α303*




τι ι αις
Συν αν θρω ποις ερ γα ζο με νοις την α νο μι
αν και ου μη συν δυ α σω με τα των εκ λε
κτων αυ των
Παι δευ σει με δι και ος εν ε λε ει και ε λεγ ξει
με ε λαι ον δε α μαρ τω λου μη λι πα να α τω
την κε φα λην μου
Ο τι ε τι και η προσ ευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να
πε τρας οι κρι ται αυ των


α κου σον ται τα ρη μα τα α μου ου ο τι η δυν θη
σαν ωσ ει πα χος γης ερ ρα γη ε πι της γης δι ε
σκορ πι σθη τα ο στα αυ των πα ρα τον α δην
Ο τι προς σε ε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ
μοι οι οι μου ε πι σοι ηλ πι σα μη η αν τα νε λης
την ψυ χην μου
Φ υ λα ξον με α πο πα γι δος η ης συν ε στη σαν το
ο μοι και α πο σκαν δα λων των ερ γα ζο με νων
την α νο μι ι αν
Π ε σουν ται εν αμ φι βλη στρω αυ τω ων οι α μαρ


τω λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρελ
θω
Φ ω νη η μου προς Κυ ρι ον ε κε κρα ξα φω
νη μου προς Κυ υ ρι ον ε δε η η θην
Ε κ χε ω ε νω πι ον αυ του την δε η σιν μου
την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Ε ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και
συ υ ε ε γνως τας τρι βους μου
Ε ν ο δω ταυ τη η ε πο ρευ ο μην ε κρυ
ψαν πα γι δα μοι


Κ α τε νο ουν εις τα δε ξι α και ε πε βλε πον
και ουχ ην ο ε πι γι νω σκων με
λ πω λε το φυ γη απ ε μου και ουχ ε ε
στιν ο εκ ζη τω ων την ψυ χην μου
Ε κε κρα ξα προς σε ε Κυ ρι ε ει ει πα συ
ει η ελ πις μου με ρις μου ει εν γη ζω ων των
Π ρο σχες προς την δε η σι ι ιν μου ο ο τι ε τα
πει νω θην σφο ο δρα
Ρ υ σαι με εκ των κα τα δι ι ω κον των με ο τι ε
κρα ται ω θησαν υ περ ε με

# Κατανυκτικά

## Ἰωάννου Πρωτοψάλτου

Αναστασιματάριον
Ιωάννου Πρωτοψάλτου
1905 σ.152*

### Ἦχος Γα




Ϲω σον με Κυ ρι ε ο Θε ος μου συ γαρ παν των
η σω τη ρι α ο κλυ δων με των πα θων εκ
τα ρα α ατ τει και το βα ρος των α νο μι ω
ων με βυ θι ζει δος μοι χει ρα βο η θει ας και προς
φως α να γα γε με κα τα νυ ξε ε ως ως μο νος
ε ευ σπλαγ χνος και φι λα αν θρω ω πος
Єκ βα θε ων ε κε κρα ξα σοι Κυ ρι ε
Κυ ρι ε εισ α α κου σον της φω νη ης μου
Τον δι ε σπαρ με νον μου νουν συν α γα γε Κυ
ρι ε και την χερ σω θει σαν μου καρ δι ι αν κα θα


ρι ι σον ως τω Πε τρω δι δους μοι με τα νοι αν ως
τω τε λω νη στε να γμον και ως την πορ νη η δα κρυ υ
α ι ι να με γα λη τη φω νη κραυ γα α ζω ω ω
σοι ο Θε ος σω σον με ως μο νος ε ευ
σπλαγ χνος και φι λα αν θρω ω πος
Γ ε νη θη τω τα ω τα σου προσ ε χον τα
εις την φω νη ην της δε η σε ω ως μου
Π ολ λα κις την υ μνω δι αν ε κτε λων ευ ρε ε
θην την α μαρ τι αν εκ πλη ρων τη μεν γλωτ τη α σμα
τα φθεγ γο με νος τη δε ψυ χη α το πα λο γι ι






## Θρασυβούλου Στανίτσα

Θρασυβούλου Στανίτσα
Μουσικόν Τριώδιον Β'
1969 σ 249*

### Ἦχος Γα




ΠΑ ΓΑ
δων πνευ μα τι κων ε λε η σον Σω τη ηρ τας ψυ χα
ας η η μων
Ε με υ πο με νου σι δι και οι ε ως ου
αν τα πο δω ως μοι
ΓΑ
C ω σον με Κυ ρι ε ο Θε ος μου συ γαρ
ΠΑ ΜΕΛ ΓΑ
παν των η σω τη ρι ι α ο κλυ υ δων με
των πα θω ων εκ τα ρα α ατ τει και το βα
ΝΗ ΓΑ
ρος των α νο μι ω ων με βυ θι ζει δος μοι χει ρα βο
η θει ας και προς φως α να γα γε ε κα τα
νυ ξε ως ως μο νος ε ευ σπλαγ χνος και φι


λα αν θρω ω πος
Ε κ βα θε ων ε κε κρα ξα σοι Κυ ρι ε
Κυ ρι ε εισ α α κου σον της φω νη ης μου
Τ ον δι ε σπαρ με ε νον μου νουν συν α α α γα
γε Κυ ρι ε και την χερ σω θει σαν μου χαρ
δι ι αν κα θα α ρι ι σον ως τω Πε τρω δι δους
μοι οι με τα νοι αν ως τω τε λω νη στε να
γμο ο ον και ως η πορ νη δα κρυ υ α ι ι
να με γα λη τη φω νη κραυ γα ζω ω σοι ο Θε
ο ος σω σο ον με ως μο νος ε ευ σπλαγ χνος


και φι λα αν θρω ω πος
Γ ε νη θη τω τα ω τα σου προσ ε χον τα
εις την φω νη ην της δε η σε ω ως μου
ΓΑ ΠΑ ΜΕΛ ΓΑ
Π ολ λα α κις την υ μνω δι αν εκ τε λω ων
ΠΑ ΓΑ
ευ ρε ε θην την α μαρ τι αν εκ πλη ρων τη μεν γλωτ
ΝΗ ΓΑ
τη α σμα τα φθεγ γο με νος τη δε ψυ χη
ΠΑ ΓΑ
α α το πα λο γι ζο με ε νος αλλ ε κα τε ρα
δι ορ θω σον Χρι στε ε ο Θε ος δι α της
με τα νοι οι οι ας και ε λε ε η σο ο ον
με ε

## Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β
2003 σ.135*




η σω τη ρι α ο κλυ δων με των πα θων εκ
τα ρατ τει και το βα ρος των α νο μι ω ων με βυ
θι ζει δος μοι χει ρα βο η θει ας και προς φως α
να γα γε με κα τα νυ ξε ε ως ως μο νος ευ σπλαγ χνος
και φι λα αν θρω ω πος
Ε χ βα θε ων ε κε κρα ξα σοι Κυ ρι ε
Κυ ρι ε εισ α α κου σον της φω νη ης μου
Τον δι ε σπαρ με νον μου νουν συν α γα γε Κυ ρι
ε και την χερ σω θει σαν μου καρ δι ι αν κα θα ρι ι
σον ως τω Πε τρω δι δους μοι με τα νοι αν ως τω τε


λω νηστε να γμον και ως τη πορ νη η δα κρυ υ α ι ι
να με γα λη τη φω νη κραυ γα ζω ω σοι ο Θε ος
σω σον με ως μο νος ευ σπλαγ χνος και φι λα αν θρω
ω πος
Γ ε νη θη τω τα ω τα σου προσ ε χον τα
εις την φω νη ην της δε η σε ω ως μου
Π ολ λα κις την υ μνω δι αν εκ τε λω ων ευ ρε
ε θην την α μαρ τι αν εκ πλη ρων τη μεν γλωτ τη α σμα τα
φθεγ γο με νος τη δε ψυ χη α το πα λο γι ι ζο με
ε νος αλλ ε κα τε ρα δι ορ θω σον Χρι στε ο Θε






# Προσόμοια Τριῳδίου

## Μανουὴλ Πρωτοψάλτου

Κύριε, εἰ καὶ κριτηρίῳ ἦχος πλ.δ′

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Κύριε, ὁ ἐπὶ Σταυροῦ ἑκουσίως, ὑφαπλώσας τὰς παλάμας σου, τοῦτον κατανύξει καρδίας, προσκυνεῖν ἡμᾶς ἀξίωσον, λελαμπρυσμένους καλῶς, νηστείαις καὶ δεήσεσι, καὶ ἐγκρατείᾳ, καὶ εὐποιΐᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε Κύριε,
ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Κύριε, τῶν ἁμαρτιῶν μου τὰ πλήθη, κατὰ τὸ πλῆθος ἐξάλειψον, τῶν σῶν οἰκτιρμῶν Πανοικτίρμον, καὶ τὸν Σταυρόν σου ἀξίωσον, ἐν καθαρᾷ τῇ ψυχῇ, καὶ βλέπειν καὶ προσπτύσσεσθαι, ἐν τῇ παρούσῃ τῆς ἐγκρατείας, ἑβδομάδι ὡς φιλάνθρωπος.

Μέγιστον θαῦμα **Ἦχος Γα**

Μανουήλ Πρωτοψάλτου
Συλλογή...1831 σ.224*








Κωνσταντίνου Παπαγιάννη

Κύριε, εἶ καὶ κριτηρίῳ

# Ἦχος Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον
τόμος Β' 2003 σ.413*




Ε νε χεν του ο νο μα τος σου υ πε μει
να σε Κυ ρι ε υ πε μει νεν η ψυ χη μου
εις τον λο γον σου ηλ πι σεν η ψυ χη μου ε πι ι
τον Κυ ρι ον
Κ υ ρι ι ε των α μαρ τι ω ων μου τα πλη η η
θη κα τα το πλη θος εξ α λει ψον των σων οι κτιρ μων παν
οι κτι ιρ μον και τον Σταυ ρο ον σου ου α ξι ω σον
εν κα θα ρα τη ψυ χη και βλε πειν και προσ πτυσ σε
σθαι εν τη πα ρου ου ση της εγ κρα τει ει ας ε
βδο μα δι ως φι λα ανθρω ω πος

Μέγιστον θαῦμα

# Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον
τόμος Β' 2003 σ.413*








# Ἐπιλύχνιος Εὐχαριστία

## Μέλος Ἀρχαῖον

Μέλος ἀρχαῖον

### Ἦχος Δι

Πανδέκτη - Εσπερινός
1850 σ.213*




α α α α γι ι ι ι ι ου ου μα α α χα
α ρο ο ο ος Ι ι ι ι η η η η σου ου ου
ου ου ου Χρι ι ι ι στε ε ε ε ελ θο ο ο
ον τες ε ε πι τη η η ην η η η η λι ι
ι ι ι ου ου δυ υ υ υ σι ι ι ιν ι ι δο ο
ο ον τε ε ε ες φω ω ω ω ω ως ε ε σπε
ε ε ρι ι νο ο ο ον υ υ μνου ου ου με ε ε εν
Πα α α α τε ε ε ε ε ρα α α α α
Υι υι υι υι ο ο ο ο ον και αι αι αι α α
α γι ι ι ο ο ο ον Πνε ε ε ε ευ μα


α α Θε ε ο ον α α α ξι ι ι ι ο ο
ο ο ον σε ε ε ε ε ε ε εν πα α
α α α σι ι ι ι ι και αι αι αι ροι οι
οι οι οις υ υ υ υ μνει ει ει σθαι αι αι αι φω ω
ω ω ναι αι αι αι αι αις αι αι σι ι ι αι αις
Υι υι ε ε ε ε Θε ε ε ε ου ου ου ου
ου ζω ω ω ω η η ην ο ο ο ο δι ι δου ους δι ι
ι ι ο ο ο ο ο ο ο ο ο ο χο ο ο σμος
σε ε ε ε δο ο ξα α α α α α ια α α α ζει ει ει
ει ει ει ει ει ει ει ει

Ἰωάννου Σακελλαρίδου

Ἦχος Δι

Μουσικός Πανδέκτης
Εσπεριvός-Απόδειπνον
«ΖΩΗ»1977 σ.33#



ο σμος σε ε ε δο ο ξα α α ζει ει ει



# Προκείμενον

## Πανδέκτη

Πέτρου Λαμπαδαρίου
τοῦ Πελοποννησίου

Ἦχος λ π Νη

Πανδέκτη, Εσπερινός
1850 σ.218*

Ε ε ε ε ε δω ω ω ω ε ε δω ω κας κλη

ρο ο ο κλη ρο νο μι ι ι ι ι ι ι ι α α

α αν τοι οις φο ο ο ο βου ου ου τοις φο βου

με ε ε ε ε ε ε ε ε νοι οι οι οι οι οις το

ο ο νο μα α σου Κυ υ υ υ ρι ι ι ι ε

∴ Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

∴ Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Ε ε ε ε ε δω ω ω ω ε ε δω ω κας κλη




Γεράσιμος Μοναχὸς Ἁγιορείτης | Δεήσεις | Λουκᾶς Λουκᾶ

## Θρασυβούλου Στανίτσα

### Ἦχος λ π Νη

Θρασυβούλου Στανίτσα
Μουσικόν Τριώδιον 1969 σ.269*






∴ Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

∴ Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.






Γεράσιμος Μοναχὸς Ἁγιορείτης | Δεήσεις | Λουκᾶς Λουκᾶ

## Κωνσταντίνου Παπαγιάννη

συντετμημένον

Ἦχος λ/π Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον
τόμος β΄ 2003 σ.341/103*




∴ Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

∴ Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.




Γεράσιμος Μοναχὸς Ἁγιορείτης — Δεήσεις — Λουκᾶς Λουκᾶ

## Εἰς τὸν Στίχον

### Ἰδιόμελον

Πανδέκτη
Εσπερινός
1850 σ.281*

# Ἦχος λ/π Νη




ω ω ιω ω ω νη η η η η ης στε ε ε ε να α α
α α α α α α α ια α α ξας κραυ γα α α
α α α ζω ω ω κραυ γα α ζω ω σοι ο Θε ος
ι λα α α α α σθη η η τι ι ι ι ι ι
ι ι ι ιι ι ι ι μοι τω ω ιω ω ω ω α α
α α α α α μα α α αρ τω ω ω ω ω λω και
φα ρι σα α ι ι ι ιι ι φα ρι σα ι ι χη η
ιη η η η η η η η η η ιε ε ε ε η
η η η η ιη η η η η η ης υ πο κρι ι ι
ι ι ι ι ι ι σε ε ω ως ρυ υ υ υ υ υ σαι αι




[τὸ ἴδιο μετὰ στίχου](#) [Μαρτυρικὸν](#)

## Ἰακώβου Πρωτοψάλτου

### Ἦχος … Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον
τόμος Β' 2003 σ.414*




ρω ω ω ω ω ω λω ω ων μου πρα α α ξε ε ε
ε ε ε λε ε ε ων α αλλ ω ω ως ο ο ο
ο ο τε ε λω ω ω ω ω ω ω ω ω λω ω ω
ω νης στε ε να α α α α α α α ξα ας κρα αυ
γα α α α α α α α α α α α α α α
ζω ω κραυ γα α ζω σοι οι οι οι οι οι οι ο Θε ος ι
λα α α α α α σθη η τι ι ι ι ι ι λι ι ι
μοι τω ω ω ω ω ω α α α α μα α α α α
αρ τω ω ω ω ω ω ω τω ω α α μα α α αρ τω ω ω
ω ω ω λω και φα ρι ι σα ι ι κης υ πο




τὸ ἴδιο μετὰ στίχου Μαρτυρικὸν

## Γεωργίου Βιολάκη

### Ἦχος Νη

Γεωργίου Βιολάκη
Τριώδιον 1899 σ.361*






[τὸ ἴδιο μετὰ στίχου](#) [Μαρτυρικὸν](#)

## Πέτρου Φιλανθίδου

Ἦχος λ π Νη

Πέτρου Φιλανθίδου
Αθωνιάς Β 1907 σ.92/539*




γω εκ τω ων πο νη ρω ω ω ω ων μου
πρα α α ξε ε ε ε ε ιε ε ε ε ων α αλλ ω
ω ως ο τε λω ω ω ω ω ω ω ω ιω ω ω ω νης
στε ε ε να αστε να α α α α α α ξα ας κρα αυ γα
α α α α α α α α α α α α α ζω ω
κραυ γα α α ζω σοι οι οι οι οι οι οι οι ο Θε ος
ι ι λα α α σθη η η τι ι ι ι ι ι ι ι
ιι ι ι ι μοι τω ω ω ω τω ω α α μα α
α α αρ τω ω λω και φα ρι σα ι κης υ υ
πο ο κρι υ πο κρι ι σε ε ε ω ως ρυ υ υ




[τὸ ἴδιο μετὰ στίχου](#) [Μαρτυρικὸν](#)

## Θρασυβούλου Στανίτσα

### Ἦχος λ πα Νη

Θρασυβούλου Στανίτσα
Μουσικόν Τριώδιον 1969 σ.290*




α α λα α τα λα α ας ε ε γω εκ των
πο νη ρω ω ω ω ω ω ω ω ω ιω ω ω
ω ω μου πρα α α α ξε ε ε ε ε ε ε ε
ιε ε ε ων α αλ ω ω ω ω ως ο ο ο
ο ο τε ε ε ε λω ω ω ω ω ω ω ω
ω ιω ω ω ω ω νης στε ε να α α
α α α α α α α α στε να α α α α α α α α α
ξας χρα αυ γα α α α α α α α α α α
α α α α α α α α ζω ω χραυ γα α α ζω
σοι οι οι οι οι οι οι οι ο Θε ο ος ι




τὸ ἴδιο μετὰ στίχου Μαρτυρικὸν

σύντομον

# Ἦχος λ π Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον
τόμος Β' 2003 σ.416*






τὸ ἴδιο μετὰ στίχου Μαρτυρικὸν

## Μαρτυρικὸν - Θεοτοκίον

### Θρασυβούλου Στανίτσα

Θρασυβούλου Στανίτσα
Μουσικόν Τριώδιον Β'
1969 σ 281*

Ἦχος Νη




τε και πα σαν νο σον θε ε ρα πευ ε τε και
ΠΑ
νυν πρε σβευ σα τε ρυ σθη η ναι των πα γι δων του
ΝΗ ΜΕΛ
ε χθρου τας ψυ χας η μων δε ο ο με ε θα
Δ ο ξα Πα τρι και Υι ω και α γι ι ω Πνευ μα
τι
Κ αι νυ υν και α ει και εις τους αι ω νας των αι
ω ω νων α μην
ΔΙ ΓΑ ΔΙ ΠΑ ΝΗ
Τ α ου ρα νι ι α υ μνει ει σε χε χα ρι τω
με νη Μη η τε ερ α νυμ φευ τε και η μεις δο ξο
ΜΕΛ ΝΗ
λο γου ου μεν την α νε ξι χνι α στον σου




Γεράσιμος Μοναχὸς Ἁγιορείτης Νῦν ἀπολύεις Λουκᾶς Λουκᾶ

## Κωνσταντίνου Παπαγιάννη

### Ἦχος πλ. Δ΄ Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β
2003 σ.228*




Μαρ τυ ρες Κυ ρι ου παν τα το πον α γι α ζε τε και
πα σαν νο σον θε ε ρα πευ ε τε και νυν πρε σβε ευ
σα α τε ρυ σθη ναι των πα γι δων του ε χθρου τας ψυ
χας η μων δε ο ο με ε θα
Δο ξα Πα τρι και Υι ω και α γι ι ω Πνευ μα
τι
Και νυ υν και α ει και εις τους αι ω νας των αι
ω ω νων α μην
σ.256*
Τα ου ρα νι α υ μνει σε κε χα ρι τω με νη Μη
τηρ α νυμ φευ τε και η μεις δο ξο ο λο γου ου ου μεν την






# Ἀντὶ Ἀπολυτικίων

## Θρασυβούλου Στανίτσα

### Ἦχος

Θρασυβούλου Στανίτσα
Μουσικόν Τριώδιον 1969 σ.310*




ων η η μων
Βα πτι στα του Χρι στου παν των η μω ων μνη σθη τι
ι να ρυ σθω μεν των α νο μι ων η μων
σοι γαρ ε δο θη χα α ρις πρε σβε ευ ειν υ περ η
μων
Δο ξα Πα τρι και Υι ω και α γι ω Πνευ
μα τι
Ι κε τευ σα τε υ περ η μων Α γι οι Α
πο στο λοι και Α α γι οι πα αν τες ι να
ρυ σθω μεν κιν δυ υ νων και θλι ψε ων υ μας


γαρ θερ μους προ στα α τας προς τον Σω τη η ρα
κε κτη η με ε θα
Και νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Υ πο την σην ευ σπλαγ χνι αν κα τα φε ευ γο
μεν Θε ο το ο ο ο κε τας η μων ι
κε σι ας μη πα ρι ι δης εν πε ρι στα α α α
σει αλλ εχ κιν δυ νων λυ τρω σαι η μας
μο ο νη α γνη μο ο νη ευ λο γη με ε ε
νη η η η η η η η η

Ἦχος

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β
2003 σ.62*




μα τι
Ι κε τευ σα τε υ περ η μων α γι οι α πο στο
λοι και α γι οι πα αν τες ι να ρυ σθω μεν κιν
δυ υ υ νων και θλι ψε ων υ μας γαρ θερ μους προ στα
α τας προς τον Σω τη η ρα κε κτη με ε θα
Και νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Υ πο την σην ευ σπλαγ χνι αν κα τα φε ευ γο μεν Θε
ο το ο κε τας η μω ων ι κε σι ας μη πα ρι ι
δης εν πε ρι στα α σει αλλ εκ κιν δυ νων λυ τρω σαι




Γεράσιμος Μοναχός Ἁγιορείτης | Κύριε ἐλέησον μ' | Λουκᾶς Λουκᾶ

## Ὕμνος Ἀπολύσεως

### Πανδέκτη

Ἦχος Δι

Πανδέκτη, Ἑσπερινός
1850 σ.382*






Δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

**ἐπιμέλεια**

Γεράσιμος Μοναχὸς Ἁγιορείτης ∴ Λουκᾶς Λουκᾶ ∴ Δημήτριος Παπαδόπουλος

Θὰ τὸ ἐκτιμούσαμε ἂν μᾶς γνωρίζατε τυχόντα λάθη.

gerry.monk@gmail.com louka.loukas@gmail.com

Θρασυβούλου Στανίτσα

Ἦχος Δι

Θρασυβούλου Στανίτσα
Μουσικόν Τριώδιον 1969 σ.312*






Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

**ἐπιμέλεια**

Γεράσιμος Μοναχὸς Ἁγιορείτης ∴ Λουκᾶς Λουκᾶ ∴ Δημήτριος Παπαδόπουλος

Θὰ τὸ ἐκτιμούσαμε ἂν μᾶς γνωρίζατε τυχόντα λάθη.

gerry.monk@gmail.com louka.loukas@gmail.com

# Κωνσταντίνου Παπαγιάννη

## ἀργόν

Ἦχος Δι χ

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β
2003 σ.96*






Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

ἐπιμέλεια

Γεράσιμος Μοναχὸς Ἁγιορείτης ∴ Λουκᾶς Λουκᾶ ∴ Δημήτριος Παπαδόπουλος

Θὰ τὸ ἐκτιμούσαμε ἂν μᾶς γνωρίζατε τυχόντα λάθη.
gerry.monk@gmail.com louka.loukas@gmail.com

## σύντομον

Ἦχος Δι χ

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Τριώδιον Β
2003 σ.97*






Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

| ἐπιμέλεια |
| --- |
| Γεράσιμος Μοναχὸς Ἁγιορείτης ∴ Λουκᾶς Λουκᾶ ∴ Δημήτριος Παπαδόπουλος |

Θὰ τὸ ἐκτιμούσαμε ἂν μᾶς γνωρίζατε τυχόντα λάθη.

gerry.monk@gmail.com louka.loukas@gmail.com